λαιας υἱὸς Σελεμιου καὶ Ελναθαν υἱὸς Ακχοβωρ καὶ Γαμαριας υἱὸς
13 Σαφαν καὶ Σεδεκιας υἱὸς Ανανιου καὶ πάντες οἱ ἄρχοντες, [13]καὶ
ἀνήγγειλεν αὐτοῖς Μιχαιας πάντας τοὺς λόγους, οὓς ἤκουσεν ἀνα-
14 γινώσκοντος τοῦ Βαρουχ εἰς τὰ ὦτα τοῦ λαοῦ. [14]καὶ ἀπέστειλαν
πάντες οἱ ἄρχοντες πρὸς Βαρουχ υἱὸν Νηριου τὸν Ιουδιν υἱὸν
Ναθανιου υἱοῦ Σελεμιου υἱοῦ Χουσι λέγοντες Τὸ χαρτίον, ἐν ᾧ
σὺ ἀναγινώσκεις ἐν αὐτῷ ἐν ὠσὶ τοῦ λαοῦ, λαβὲ αὐτὸ εἰς τὴν
χεῖρά σου καὶ ἧκε· καὶ ἔλαβεν Βαρουχ τὸ χαρτίον καὶ κατέβη πρὸς
15 αὐτούς. [15]καὶ εἶπαν αὐτῷ Πάλιν ἀνάγνωθι εἰς τὰ ὦτα ἡμῶν· καὶ
16 ἀνέγνω Βαρουχ. [16]καὶ ἐγενήθη ὡς ἤκουσαν πάντας τοὺς λόγους,
συνεβουλεύσαντο ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ καὶ εἶπαν Ἀναγ-
γέλλοντες ἀναγγείλωμεν τῷ βασιλεῖ ἅπαντας τοὺς λόγους τούτους.
17 [17]καὶ τὸν Βαρουχ ἠρώτησαν λέγοντες Πόθεν ἔγραψας πάντας τοὺς
18 λόγους τούτους; [18]καὶ εἶπεν Βαρουχ Ἀπὸ στόματος αὐτοῦ ἀνήγ-
γειλέν μοι Ιερεμιας πάντας τοὺς λόγους τούτους, καὶ ἔγραφον ἐν
19 βιβλίῳ. [19]καὶ εἶπαν τῷ Βαρουχ Βάδισον κατακρύβηθι, σὺ καὶ Ιερε-
20 μιας· ἄνθρωπος μὴ γνώτω ποῦ ὑμεῖς. [20]καὶ εἰσῆλθον πρὸς τὸν
βασιλέα εἰς τὴν αὐλήν, καὶ τὸ χαρτίον ἔδωκαν φυλάσσειν ἐν οἴκῳ
21 Ελισαμα, καὶ ἀνήγγειλαν τῷ βασιλεῖ πάντας τοὺς λόγους. — [21]καὶ
ἀπέστειλεν ὁ βασιλεὺς τὸν Ιουδιν λαβεῖν τὸ χαρτίον, καὶ ἔλαβεν
αὐτὸ ἐξ οἴκου Ελισαμα· καὶ ἀνέγνω Ιουδιν εἰς τὰ ὦτα τοῦ βασι-
λέως καὶ εἰς τὰ ὦτα πάντων τῶν ἀρχόντων τῶν ἑστηκότων περὶ
22 τὸν βασιλέα. [22]καὶ ὁ βασιλεὺς ἐκάθητο ἐν οἴκῳ χειμερινῷ, καὶ
23 ἐσχάρα πυρὸς κατὰ πρόσωπον αὐτοῦ. [23]καὶ ἐγενήθη ἀναγινώσκον-
τος Ιουδιν τρεῖς σελίδας καὶ τέσσαρας, ἀπέτεμνεν αὐτὰς τῷ ξυρῷ
τοῦ γραμματέως καὶ ἔρριπτεν εἰς τὸ πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας, ἕως
24 ἐξέλιπεν πᾶς ὁ χάρτης εἰς τὸ πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας. [24]καὶ οὐκ
ἐζήτησαν καὶ οὐ διέρρηξαν τὰ ἱμάτια αὐτῶν ὁ βασιλεὺς καὶ οἱ
25 παῖδες αὐτοῦ οἱ ἀκούοντες πάντας τοὺς λόγους τούτους· [25]καὶ

12 σελεμιου] σεδεκιου S†: cf. 44 3; σαμαιου *L* = 𝔐 | ελναθαν Q$^{mg}$†] ιωναθαν BS, ναθαν A: cf. 25 | ακχοβωρ] κ > A || 13 αναγιγνωσκ. A† | του 1$^{0}$ > BSpau. || 14 τον ιουδιν(ν>A)] > BSpau.; cf. 23 | υιον 2$^{0}$] υιου S (non B) | σαλαμιου A† | λεγ. το χαρτ. > S*† | χαρτιον 1$^{0}$ BS$^{s}$pau., 2$^{0}$ BSApau.] βιβλιον rel.: cf. 20. 25. 29 et 2 | συ] > A, in *O* sub ※ pro ÷ | εις την χ. σου > S*† | βαρουχ ult.] + υιος νηριου A = 𝔐 | χαρτιον ult.] + εν τη(>A†) χειρι αυτου Apl. = 𝔐 || 16 αναγγελ(λ)ωμεν S*A || 17 ποθεν] που B†, pr. που S*† | παντας > S || 18 αυτου BSpau.] > A†, ιερεμιου rel. | και ult.] καγω A || 19 ειπαν] + οι αρχοντες Apl. = 𝔐 | τω] προς A*C*† | κατακρυβ.] και κρυβ. A† | ανθρ.] pr. και SA = 𝔐 | γνωτω] γνω AV† | υμεις] υπαγεις S*† || 20 χαρτιον BS†] βιβλιον rel.: cf. 14 | ελισαμα] ελεισα BS(†): item in 21 | fin.] + τουτους A (in *O* sub ※) || 21 παντων > AQ† | περι] προς A† || 23 ιωδειν A†, sed in 21 bis etiam A ιουδειν, cf. 14 | απετεμεν A | αυτας] ς > S*A† | εως] + ου A† || 24 εζητ.] pr. εξ A | ου > S*† | οι ult. > A† | ακουοντες] ακουσαντες Apl. | παντες A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/736 UNIVERSITÄT LEIPZIG